# Solón – Publícola. El sabio político y el político sabio

Carlos Alcalde Martín. Universidad de Málaga.

1. *Publ.* 24 (1).8: εἰ σοφώτατος ἁπάντων ὁ Σόλων, εὐδαιμονέστατος ὁ Ποπλικόλας *Publ.* 24.

2. *Sol.* 2.2: καίτοι φασὶν ἔνιοι πολυπειρίας ἕνεκα μᾶλλον καὶ ἱστορίας ἢ χρηματισμοῦ πλανηθῆναι τὸν Σόλωνα. **σοφίας** μὲν γὰρ ἦν ὁμολογουμένως **ἐραστής**, ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε (fr. 22 D.) **'γηράσκειν αἰεὶ πολλὰ διδασκόμενος'**.

3. *Sol.* 2.4: **χρήματα** δ' ἱμείρω μὲν ἔχειν, **ἀδίκως** δὲ πεπᾶσθαι
**οὐκ ἐθέλω·** πάντως ὕστερον ἦλθε δίκη (fr. 1, 7 D).

4. *Sol.* 3.6: **φιλοσοφίας δὲ τοῦ ἠθικοῦ μάλιστα τὸ πολιτικόν**, ὥσπερ οἱ πλεῖστοι τῶν τότε σοφῶν, **ἠγάπησεν**. *Sol.* 3.8: τοῖς δ' ἄλλοις **ἀπὸ τῆς πολιτικῆς ἀρετῆς τοὔνομα τῆς σοφίας ὑπῆρξε**.

5. *Sol.* 6.4: πολὺς λόγος ἦν αὐτοῦ σοφίας καὶ δικαιοσύνης.

6. *Sol.* 14.5: πολλοὶ δὲ καὶ τῶν διὰ μέσου πολιτῶν, τὴν ὑπὸ λόγου καὶ νόμου μεταβολὴν ὁρῶντες ἐργώδη καὶ χαλεπὴν οὖσαν, οὐκ ἔφευγον ἕνα **τὸν δικαιότατον καὶ φρονιμώτατον** ἐπιστῆσαι τοῖς πράγμασιν.

7. *Sol.* 27.1: ἐγὼ δὲ **λόγον** ἔνδοξον οὕτω καὶ τοσούτους μάρτυρας ἔχοντα καί (ὃ μεῖζόν ἐστι) **πρέποντα τῷ Σόλωνος ἤθει καὶ τῆς ἐκείνου μεγαλοφροσύνης καὶ σοφίας ἄξιον**, οὔ μοι δοκῶ προήσεσθαι χρονικοῖς τισι λεγομένοις κανόσιν …

8. *Sol.* 27.1: '**Ἕλλησιν'** εἶπεν 'ὦ βασιλεῦ Λυδῶν, πρός τε τἆλλα **μετρίως ἔχειν ἔδωκεν ὁ θεός, καὶ σοφίας τινὸς** ἀθαρσοῦς ὡς ἔοικε καὶ δημοτικῆς, οὐ βασιλικῆς οὐδὲ λαμπρᾶς, **ὑπὸ μετριότητος ἡμῖν μέτεστιν**, ἣ τύχαις ὁρῶσα παντοδαπαῖς χρώμενον ἀεὶ τὸν βίον, οὐκ ἐᾷ τοῖς παροῦσιν ἀγαθοῖς μέγα φρονεῖν οὐδὲ θαυμάζειν ἀνδρὸς εὐτυχίαν μεταβολῆς χρόνον ἔχουσαν.

9. *Publ.* 1.2: βασιλευομένης μὲν ἔτι τῆς Ῥώμης **ἐπιφανὴς ἦν διὰ λόγον καὶ πλοῦτον, ὧν τῷ μὲν ὀρθῶς καὶ μετὰ παρρησίας ἀεὶ χρώμενος ὑπὲρ τῶν δικαίων, ἀφ' οὗ δὲ τοῖς δεομένοις ἐλευθερίως καὶ φιλανθρώπως ἐπαρκῶν**, δῆλος ἦν εὐθύς, εἰ γένοιτο δημοκρατία, πρωτεύσων.

10. *Publ.* 10.8: τὸν φθόνον τῇ μετριότητι ταύτῃ καθαιρῶν καὶ κολούων

11. *Publ.* 24(1).1: Ἆρ' οὖν ἴδιόν τι περὶ ταύτην τὴν σύγκρισιν ὑπάρχει καὶ μὴ πάνυ συμβεβηκὸς ἑτέρᾳ τῶν ἀναγεγραμμένων, **τὸν ἕτερον μιμητὴν γεγονέναι τοῦ ἑτέρου, τὸν ἕτερον δὲ μάρτυν**;

12. *Publ.* 24(1).8: Ποπλικόλᾳ δ' ὑπῆρχεν οὐ μόνον **μὴ κακῶς πλουτεῖν, ἀλλὰ καὶ καλῶς ἀναλίσκειν** εὖ ποιοῦντι τοὺς δεομένους. ὥστ' εἰ σοφώτατος ἁπάντων ὁ Σόλων, εὐδαιμονέστατος ὁ Ποπλικόλας. ἃ γὰρ εὔξατο τῶν ἀγαθῶν ἐκεῖνος ὡς κάλλιστα καὶ μέγιστα, ταῦτα καὶ κτήσασθαι Ποπλικόλᾳ καὶ φυλάξαι χρωμένῳ μέχρι τέλους ὑπῆρξεν.

13. *Publ.* 26(3).3-4: Τῆς δ' ὅλης πολιτείας τῇ μὲν ἀρχῇ λαμπρότερος ὁ Σόλων … τῷ τέλει δ' ἅτερος εὐτυχὴς καὶ ζηλωτός …

14. *Publ.* 26(3).5: οὗτος δὲ βασιλείαν ἰσχύουσαν ἐκ πολλῶν ἤδη χρόνων καὶ κρατοῦσαν ἐξέβαλε καὶ κατέλυσεν, **ἀρετὴν μὲν ἴσην καὶ προαίρεσιν ὁμοίαν παρασχόμενος, τύχῃ δὲ καὶ δυνάμει τελεσιουργῷ πρὸς τῇ ἀρετῇ χρησάμενος.**